ἐν δὲ κύκλῳ, ἐν ᾧ τοῦ ὄμματος συγκλίνει, σχήματι. Διά τι οὖν τὰ εἰρημένα, πόῤῥω οὐ φέρεται· καὶ εἰ φέροιτο τὸ ἐγγὺς καὶ πόῤῥω, οὐ καὶ ταὐτὸ ὁρῴη. ἀπολείποι γὰρ ἂν ἐν θατέρῳ χρόνῳ αὐτὴν τὸ ὁρώμενον ἐν ταὐτῷ τόπῳ. ἀπολείπων δὲ, οὐκ ἂν ὁρῴη. κύκλῳ δὲ φέρεται, διὰ τὸ ὑπάρχον σχῆμα τῆς ὄψεως. ἔστι γὰρ κῶνος, οὗ ἡ βάσις κύκλος, ἐν ᾧ κινουμένη, ὁρᾷ μὲν τοῦτο, διὰ τὸ μηδέποτε ἀπολείπειν αὐτό. διέψευσται δὲ τῷ τόπῳ, διὰ τὸ μὴ τὴν αὐτὴν ὄψιν ἐπιβάλλειν ἐπ' αὐτό. ταὐτὸν γὰρ ἂν ἦν, ἢ τοῦτο πρὸς τὴν ὄψιν κινεῖν, ἢ τὴν ὄψιν πρὸς τοῦτο. ι Διά τι τοῖς μεθύουσιν ἐνίοτε πολλὰ φαίνεται τὸ ἓν ὁρῶσιν; ἢ καθάπερ εἴρηται, κινουμένης τῆς ὄψεως, συμβαίνει μηδένα χρόνον τὴν αὐτὴν ἐπὶ ταὐτοῦ ἠρεμεῖν ὄψιν; τὸ δὲ ἐν ταὐτῷ χρόνῳ ἑτέρως ὁρώμενον, ὀψιαίτερον εἶναι δοκεῖ. ἁφῇ γὰρ ὄψεως ὁρᾶται τὸ ὁρώμενον· ἅπτεσθαι δὲ πλείοσιν ἅμα τοῦ αὐτοῦ, ἀδύνατον. ὄντος δὲ ἀναισθήτου τοῦ μεταξὺ χρόνου, [ἐν ᾧ ἡ ὄψις ἥπτετο, καὶ παρήλλαττε τὸ ὁρώμενον] εἷς εἶναι δοκεῖ χρόνος, ἐν ᾧ τε ἧπται καὶ παρήλλαχεν· ὥστ' ἐν τῷ αὐτῷ χρόνῳ ταὐτοῦ πλειόνων ἁπτομένων ὄψεων, πλείω δοκεῖ εἶναι τὰ ὁρώμενα, διὰ τὸ ταὐτὰ κατὰ τὸν αὐτὸν τρόπον ἀδύνατον εἶναι ἅπτεσθαι. ια Διά τι οἱ μεθύοντες ἀφροδισιάζειν ἀδύνατοί εἰσιν; ἢ ὅτι δεῖ τινὰ τόπον ἐκθερμανθῆναι μᾶλλον τοῦ ἄλλου σώματος; τοῦτο δὲ ποιεῖν, διὰ τὸ πλῆθος τῆς ἐν ὅλῳ τῷ σώματι θερμασίας, ἀδυνατοῦσιν. ἀποσβέννυται γὰρ τὸ ὑπὸ τῆς κινήσεως θερμὸν γινόμενον ὑπὸ τοῦ περιέχοντος μᾶλλον, ὅτι πολύ ἐστιν ἐν αὐτοῖς τὸ ὑγρὸν καὶ ἄπεπτον. ἔτι δὲ τὸ σπέρμα ἐκ τροφῆς. τροφὴ δὲ πᾶσα πέττεται· ἧς πληρωθέντες, ὁρμητικοί εἰσι πρὸς τὰ ἀφροδίσια. διὸ καὶ κελεύουσί τινες πρὸς τὴν πρᾶξιν τὴν τοιαύτην, ἀριστᾷν μὲν πολὺ, δειπνεῖν δὲ ὀλίγον, ἵνα ᾖ αὐτοῖς ἐλάττω τὰ ἄπεπτα τῶν πεπεμμένων. ιβ Διά τι ὁ γλυκὺς καὶ ἄκρατος καὶ ὁ κυκεὼν μεταξὺ διαπινόμενοι ἐν τοῖς πότοις, νήφειν ποιοῦσι; καὶ διά τι ἧττον μεθύσκονται ταῖς μεγάλαις κωθωνιζόμενοι; ἢ πάντων τὸ αὐτὸ αἴτιόν ἐστιν, ἡ παράκρουσις τοῦ ἐπιπολῆς θερμοῦ; τὸ γὰρ μεθύειν ἐστὶν, ὅταν ᾖ τὸ θερμὸν [ἐν] τοῖς περὶ τὴν κεφαλὴν τόποις. ιγ Διά τι τοῦ γλυκέως ἐπιπολαστικοῦ ὄντος, ἐάν τις μεθύων ἤδη ἐπιπίῃ γλυκὺ,

Appetitio autem, quæ profluit ad elongatiora, vehementior eſt: circularis verò figura, quam nomen ipſum declarat, continetur. Propè igitur, ac procul viciſſim conſpectus deferri ea de cauſa non poteſt: & ſi ita feratur, rem tamen eandem contingere non queat, quippe qui vice alterutra temporis eodem in loco rem, quam intuetur, relinquat, eúmque reliquerit, intueri non poſſit: circulo autem ſuæ figuræ cauſa videtur. Eſt enim conus, cuius baſis circulus eſt, in quo ſe agitans ipſe conſpectus, rem quidem percipit eandem, quia nunquam ſibi rem ſubiectam deſerit. Fallitur tamen in loco, quia non eodem intuitu rem contingit: nihil enim intereſt, vtrum res ad aſpectum, an ad rem aſpectus moueatur. 10 Cur vinolentis res vna, plures interdum eſſe videatur? An quia (vt dictum eſt) iam aſpectus, cùm cõmoueatur, euenit, vt nullo tẽpore idem viſus in eodem quieſcat. Quod autem eodem tempore variè cernitur, id ſerius occurriſſe videri poteſt. Quod enim cernitur, nonniſi cõſpectus tactione ſentitur. Fieri autem nõ poteſt, vt idem pluribus ſimul attingatur. Quod cùm nullũ ſenſum admittat id tempus, quod interpoſitum tẽpori diſtinguat, quo rem conſpectus attingit, & quo repetit, efficitur hinc, vt tempus vnum eſſe videatur, quo attingitur, quóque repetitur. Itaque cùm plures aſpectus rem eandem attingant eodem tempore, plura eſſe videtur, quod vnũ conſpectui ſubiacet: quoniam fieri non poteſt, vt res eadem modo eodem attingatur. 11 Cur vinolenti concumbere nequeant? An quoniã pars quædam magis caleat, quàm reliquum corpus, oportet, quod in his fieri non poteſt, ob nimium totius corporis feruorem, extinguitur enim calor motionis internæ obtentu caloris occupantis, quoniam multum in his ineſt, quod humidum, crudúmque officiat. Adhæc, ſemen à cibo proficiſci neceſſe eſt: cibus autem omnis concoquitur, quo ſatiati ad venerem planè incitamur. Vnde hac de re plerique prandere largè, cœnare parcè præcipiunt, vt cruda inſint, quàm concocta pauciora. 12 Cur ſi quis vinum dulce, ac merũ aut cyceonẽ inter potandũ hauſerit, ſobrius perſiſtere poſſit? & cur minus ebriantur, qui calice amplo fœcundóq. hauriunt? an omniũ eadẽ illa ratio eſt, quòd ſuperficialis calor ita ſupprimitur. Vinolentia.n. tum oritur, cùm calor ſedẽ capitis totam occupauit. 13 Quam ob cauſam cùm vinum dulce aptũ ſit fluitare, ſi quis temulẽtus dulce ſuperadmiſit,